Τοὔνεκεν εἰσὶν ἀδελφά, καὶ ὡς ξύμφυλα συνηχεῖ,
Συγγενὲς ἀλλήλων φθέγμα μεριζόμενα.
Γνήσια γὰρ τάδε πάντα, μιῆς ἅτε γαστρὸς ἐόντα,
Καὶ τῶν ἀντιτύπων κληρονομεῖ πατάγων.
Καὶ γὰρ δεξιὸν ὄμμα κακούμενον ὄμματι λαιῷ,
Πολλάκι τοὺς ἰδίους ἀντιδίδωσι πόνους.

---

## ΕΙΣ ΜΕΘΗΝ, κεφ. μζ.

### ΑΝΤΙΠΑΤΡΟΥ.

Μηδ' ὅτ' ἐπ' ἀγκύρῃ ὀλίγῃ πίστευε θαλάσσῃ
Ναυτίλε, μηδ' εἴ τοι πείσματα χερσὸς ἔχει.
Καὶ γὰρ Ἴων ὅρμῳ ἔνι κάππεσεν· ἐς δὲ κόλυμβον
Ναύτου τὰς ταχινὰς οἶνος ἔδησε χέρας.
Φεῦγε χοροιτυπίην ἐπινήϊον. ἐχθρὸς Ἰάκχῳ
Πόντος· Τυρσηνοὶ τοῦτον ἔθεντο νόμον.

### ΑΡΓΕΝΤΑΡΙΟΥ.

Κωμάζω, χρύσεον ἐς ἑσπερίων χορὸν ἄστρων
Λεύσσων, οὐδ' ἄλλων λὰξ ἐβάρυνα χορούς.
Στέψας δ' ἀνθοβόλον κρατὸς τρίχα, τὴν κελαδεινὴν
Πηκτίδα μουσοπόλοις χερσὶν ἐπηρέθισα.
Καὶ τάδε δρῶν, εὔκοσμον ἔχω βίον· οὐδὲ γὰρ αὐτὸς
Κόσμος ἄνευθε λύρης ἔπλετο καὶ στεφάνου.

### Ἄδηλον.

Ὁ πρὶν ἀεὶ βρομίου μεμεθυσμένος οἰνάδι πηγῇ,
Σκώπτροφος εὐάσαι, αἰγοπόδης σάτυρος,
Διχθάδιον κατὰ κῶλον ἀλυκτοπέδῃσι λυγωθεὶς,
Ἔντεα παιδὶ θεᾶς χαλκοτορεῖ Θέτιδος.

Οὐ